Histoire d'Aristarque de Samos

Aristarchus

Paris, 1810

Aristarchou peri megethôn kai apostêmatôn hêliou kai selênês. / Aristarchi (liber) de magnitudinibus et distantiis solis et lunae.

ἈΡΙΣΤΆΡΧΟΥ

ΠΕΡῚ ΜΕΓΕΘΩ͂Ν

ΚΑῚ

ἈΠΟΣΤΗΜΆΤΩΝ

ἩΛΊΟΥ ΚΑῚ ΣΕΛΉΝΗΣ.

ARISTARCHI

(LIBER)

DE MAGNITUDINIBUS

ET DISTANTIIS

SOLIS ET LUNÆ.

ἈΡΙΣΤΑΡΧΟΥ

ΠΕΡΙ ΜΕΓΕΘΩΝ ΚΑΙ ἈΠΟΣΤΗΜΑΤΩΝ,

ἩΛΙΟΥ ΚΑΙ ΣΕΛΗΝΗΣ.

Α΄. Τὴν σελήνην παρὰ τοῦ ἡλίου τὸ φῶς λαμβάνειν.

Β΄. Τὴν γῆν, σημείου τὲ καὶ κέντρου λόγον ἔχειν πρὸς τὴν τῆς σελήνης σφαῖραν.

Γ΄. Ὅταν ἡ σελήνη διχότομος ἡμῖν φαίνηται, νεύειν εἰς τὴν ἡμετέραν ὄψιν, τὸν διορίζοντα τό τε σκιερὸν καὶ τὸ λαμπρὸν τῆς σελήνης μέγιστον κύκλον.

Δ΄. Ὅταν ἡ σελήνη διχότομος ἡμῖν φαίνηται, τότε αὐτὴν ἀπέχειν τοῦ ἡλίου ἔλασσον τεταρτημορίου, τῷ τοῦ τεταρτημορίου τριακοστῷ.

Ε΄. Τὸ τῆς σκιᾶς πλάτος, σεληνῶν εἶναι δύο.

ϛ΄. Τὴν σελήνην ὑποτείνειν ὑπὸ πεντεκαιδέκατον μέρος ζωδίου.

ARISTARCHI
DE MAGNITUDINIBUS ET DISTANTIIS, SOLIS ET LUNÆ.

---

1. *LUNAM à Sole lumen accipere.*

2. *Terram puncti ac centri rationem habere ad Lunæ sphæram.*

3. *Cùm Luna dimidiata nobis apparet, vergere in nostrum visum circulum maximum, qui umbrosum et splendidum Lunæ determinat.*

4. *Cùm Luna dimidiata nobis apparet, tunc eam distare à Sole minus quadrante, quadrantis parte trigesimâ.*

5. *Umbræ latitudinem, Lunarum esse duarum.*

6. *Lunam subtendere quintam decimam partem signi.*

Itaque colligitur distantiam solis à terrâ, majorem quidem esse, quàm duodevigintuplam distantiæ lunæ; minorem verò quàm vigintuplam; ex positione quæ est circà dimidiatam lunam: et eandem proportionem habere solis diametrum ad diametrum lunæ: solis autem diametrum ad diametrum terræ majorem quidem proportionem habere, quàm 19 ad 3; minorem verò quàm 43 ad 6; ex ratione distantiarum, et positione circà umbram, et ex eo quòd luna quintam decimam signi partem subtendit.

PROPOSITIO I.

Duas sphæras, æquales quidem idem cylindrus comprehendit, inæquales verò idem conus, verticem habens ad minorem sphæram: et per centrum ipsarum ducta recta linea, perpendicularis est ad utrumque circulorum, in quibus cylindri, vel coni superficies sphæras contingit.

Ἐπιλογίζεται οὖν τὸ τοῦ ἡλίου ἀπόστημα ἀπὸ τῆς γῆς, τοῦ τῆς σελήνης ἀποστήματος μεῖζον μὲν ἢ ὀκτωκαιδεκαπλάσιον· ἔλασσον δὲ ἢ εἰκοσαπλάσιον, διὰ τῆς περὶ τὴν διχοτομίαν ὑποθέσεως. Τὸν αὐτὸν δὲ λόγον ἔχειν τὴν τοῦ ἡλίου διάμετρον πρὸς τὴν τῆς σελήνης διάμετρον. Τὴν δὲ τοῦ ἡλίου διάμετρον πρὸς τὴν τῆς γῆς διάμετρον μείζονα μὲν λόγον ἔχειν, ἢ ὃν τὰ ιθʹ πρὸς γʹ, ἐλάσσονα δὲ, ἢ ὃν μγʹ πρὸς ϛʹ, διὰ τοῦ εὑρεθέντος περὶ τὰ ἀποστήματα λόγου, τῆς περὶ τὴν σκιὰν ὑποθέσεως, καὶ τοῦ τὴν σελήνην ὑπὸ πεντεκαιδέκατον μέρος ζωδίου ὑποτείνειν.

Αʹ.

Δύο σφαίρας ἴσας μὲν ὁ αὐτὸς κυλινδρος περιλαμβάνει· ἀνίσους δὲ ὁ αὐτὸς κῶνος τὴν κορυφὴν ἔχων πρὸς τῇ ἐλάσσονι σφαίρᾳ. Καὶ ἡ διὰ τῶν κέντρων αὐτῶν ἀγομένη εὐθεῖα, ὀρθή ἐστι πρὸς ἑκάτερον τῶν κύκλων καθ' ὧν ἐφάπτεται ἡ τοῦ κυλίνδρου, ἢ ἡ κώνου ἐπιφάνεια τῶν σφαιρῶν.

Ἔστωσαν ἴσαι σφαῖραι, ὧν κέντρα ἔστω τὰ α, β σημεῖα, καὶ ἐπιζευχθεῖσα ἡ αβ ἐκβεβλήσθω· καὶ ἐκβεβλήσθω διὰ τῆς αβ ἐπίπεδον. Ποιήσει δὴ τομὰς ἐν ταῖς σφαίραις μεγίστους κύκλους. Ποιείτω οὖν τοὺς γδε, ζηθ κύκλους· καὶ ἤχτωσαν ἀπὸ τῶν α, β τῇ αβ πρὸς ὀρθὰς αἱ γαε, ζβθ, καὶ ἐπεζεύχθω ἡ γζ. Καὶ ἐπεὶ αἱ γα, ζβ ἴσαι τὲ καὶ παράλληλοί εἰσι, καὶ αἱ γζ, αβ ἄρα ἴσαι τὲ καὶ παράλληλοί εἰσι. Παραλληλόγραμμον ἄρα ἐστὶ τὸ γζαβ, καὶ αἱ πρὸς τοῖς γζ γωνίαι ὀρθαὶ ἔσονται. Ὥστε ἡ γζ τῶν γδε, ζηθ κύκλων ἐφάπτεται. Ἐὰν δὴ, μενούσης τῆς αβ, τὸ αζ παραλληλόγραμμον καὶ τὰ κγδ, ηζλ ἡμικύκλια περιενεχθέντα εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ ὅθεν ἤρξατο φέρεσθαι, τὰ μὲν κγδ, ηζλ ἡμικύκλια ἐνεχθήσεται κατὰ τῶν σφαιρῶν· τὸ δὲ αζ παραλληλόγραμμον γεννήσει κύλινδρον, οὗ βάσεις ἔσονται οἱ περὶ διαμέτρους τὰς γε, ζθ κύκλοι, ὀρθοὶ ὄντες πρὸς τὴν αβ, διὰ τὰ

Sint æquales sphæræ (*fig.* 1), quarum centra A, B: junctaque AB producatur: et per ipsam AB producatur planum, quod faciet sectiones in sphæris maximos circulos: itaque faciat circulos CDE, FGH; atque à punctis A, B, ipsiûs AB lineæ ad rectos angulos ducantur CAE, FBH: et CF jungatur. Quoniam igitur CA, FB et æquales sunt, et parallelæ; eritque CFAB parallelogrammum; et anguli qui ad CF, recti. Ergò recta linea CF circulos CDE, FGH continget. Si autem AB manente, parallelogrammum AF, et KCD, GFL semicirculi convertantur, quousque rursùs restituantur in eundem locum à quo moveri cœperunt: semicirculi quidem KCD, GFL ferentur in sphæris, parallelogrammum verò AF cylindrum efficiet, cujus bases erunt circuli circà diametros CE, FH, recti existentes ad ipsam AB: proptereà quòd, in omni conversione, CE, FH ad ipsam AB rectæ permanent: et perspicuum est superficiem ipsiûs contingere sphæras, quoniàm CF in omni conversione semicirculos KCD, GFL contingit.

Propositio II.

Sint rursùs sphæræ inæquales, quarum centra A,B (fig. 2) *: et sit major, cujus centrum A. Dico dictas sphæras eundem conum comprehendere, qui verticem habeat ad minorem sphæram.*

Jungatur AB, et per ipsam producatur planum, quod faciet sectiones in sphæris circulos. Faciat circulos CDE, FGH; certè circulus CDE major est circulo FGH. Ergo et quæ ex centro circuli CDE, major erit eâ quæ ex centro circuli FGH. Fieri igitur potest, ut sumatur aliquod punctum, velut K, ità ut, quam proportionem habet quæ ex centro circuli CDE ad eam quæ ex centro circuli FGH, eandem habeat

ἐν

ἐν πάσῃ μετακινήσει διαμένειν τὰς γε, θζ ὀρθὰς τῇ αβ· καὶ φανερὸν, ὅτι ἡ ἐπιφάνεια αὐτοῦ ἐφάπτεται τῶν σφαιρῶν· ἐπειδὴ ἡ γζ κατὰ πᾶσαν μετακίνησιν ἐφάπτεται τῶν κγδ, ηζλ ἡμικυκλίων.

Β΄.

Ἔστωσαν δὴ αἱ σφαῖραι πάλιν, ὧν κέντρα ἔστω τὰ α, β, ἄνισοι· καὶ μείζων, ἧς κέντρον τὸ α. Λέγω ὅτι τὰς σφαίρας ὁ αὐτὸς κῶνος περιλαμβάνει τὴν κορυφὴν ἔχων πρὸς τῇ ἐλάσσονι σφαίρᾳ.

Ἐπεζεύχθω ἡ αβ, καὶ ἐκβεβλήσθω διὰ τῆς αβ ἐπίπεδον. Ποιήσει δὴ τομὴν ἐν ταῖς σφαίραις κύκλους. Ποιείτω τοὺς γδε, ζηθ. Μείζων ἄρα ὁ γδε κύκλος τοῦ ηζθ κύκλου· ὥστε καὶ ἡ ἐκ τοῦ κέντρου τοῦ γδε κύκλου, μείζων ἐστὶ τῆς ἐκ τοῦ κέντρου τοῦ ζηθ κύκλου. Δυνατὸν δή ἐστι λαβεῖν τι σημεῖον, ὡς τὸ κ, ἵν᾽ ᾖ, ὡς ἡ ἐκ τοῦ κέντρου τοῦ γδε κύκλου πρὸς τὴν ἐκ τοῦ κέντρου τοῦ ζηθ κύκλου, οὕτως ἡ ακ πρὸς τὴν κβ.

Ἔστω οὖν εἰλημμένον τὸ κ σημεῖον, καὶ ἤχθω ἡ κζ ἐφαπτομένη τοῦ ζηθ κύκλου· καὶ ἐπεζεύχθω ἡ ζβ. Καὶ διὰ τοῦ α τῇ βζ παράλληλος ἤχθω ἡ αγ· καὶ ἐπεζεύχθω ἡ γζ. Καὶ ἐπεί ἐστιν, ὡς ἡ ακ πρὸς τὴν κβ, ἡ αδ πρὸς τὴν βν· ἴση δέ, ἡ μὲν αδ τῇ αγ, ἡ δὲ βν τῇ βζ· ἔστιν ἄρα, ὡς ἡ ακ πρὸς τὴν κβ, ἡ αγ πρὸς τὴν βζ, καὶ ἔστι παράλληλος ἡ αγ τῇ βζ, εὐθεῖα ἄρα ἐστὶν ἡ γζκ. Καὶ ἐστὶν ὀρθὴ ἡ ὑπὸ τῶν κζβ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ τῶν κγα· ἐφάπτεται ἄρα ἡ κγ τοῦ γδε κύκλου. Ἤχθωσαν δὴ αἱ γλ, ζμ, ἐπὶ τὴν αβ κάθετοι. Ἐὰν δή, μενούσης τῆς κξ, τά τε ξγδ, ηζν, ἡμικύκλια, καὶ τὰ κγλ, κζμ τρίγωνα, περιενεχθέντα εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ ὅθεν ἤρξατο φέρεσθαι· τὰ μὲν ξγδ, ηζν ἡμικύκλια ἐνεχθήσεται κατὰ τῶν σφαιρῶν· τὸ δὲ κγλ τρίγωνον καὶ τὸ κζμ γεννήσει κώνους, ὧν βάσεις εἰσὶν οἱ περὶ διαμέτρους τὰς γε, ζθ κύκλοι, ὀρθοὶ ὄντες πρὸς τὸν κλ ἄξονα· κέντρα δὲ αὐτῶν τὰ λ, μ· καὶ ὁ

AK ad KB. Sumatur punctum illud, et sit K: ducaturque KF tangens circulum FGH; et FB jungatur. Deinde per A ipsî BF parallela ducatur AC, et jungatur CF. Quoniam igitur est, ut AK ad KB, ita AD ad BN; atque est AD quidem æqualis ipsî AC; BN verò ipsî BF: erit, ut AK ad KB, ita AC ad BF: estque AC parallela ipsî BF, recta igitur linea est CFK. Sed angulus KFB rectus est. Ergo et rectus KCA; ac proptereà KC circulum CDE contingit. Ducantur CL, FM, ad ipsam AB perpendiculares. Si verò, manente KX, semicirculi XCD, GFN, et triangula KCL, KFM convertantur, quousque rursùs restituantur in eundem locum à quo moveri cœperunt: semicirculi quidem XCD, GFN in sphæris ferentur; triangula verò KCL, KFM conos efficient, quorum bases sunt circuli circa diametros CE, FH, recti existentes ad KL axem, et eorum centra

L, M; conus verò sphærarum continget superficies, quoniam et KFC in omni conversione semicirculos XCD, GFN contingit.

Propositio III.

Si sphæra à majori sphærâ illuminetur, major ejus pars, quàm sit dimidia sphæra, illuminabitur.

Sphæra enim (*fig.* 2), cujus centrum B, à majori sphærâ, cujus centrum A, illuminetur. Dico partem sphæræ illuminatam cujus centrum B, dimidiâ sphærâ majorem esse. Quoniàm enim duas inæquales sphæras idem conus comprehendit, verticem habens ad minorem sphæram : sit conus sphæras comprehendens; et per axem planum producatur : faciet illud sectiones in sphæris quidem circulos, in cono autem triangulum. Itaque faciat in sphæris circulos CDE, FGH; et in cono triangulum CEK. Manifestum est portionem sphæræ, quæ est ad FGH circumferentiam, cujus κῶνος τῶν σφαιρῶν ἐφάψεται κατὰ τὴν ἐπιφάνειαν, ἐπειδὴ καὶ ἡ κζγ ἐφάπτεται τῶν ζγδ, νζη ἡμικυκλίων κατὰ πᾶσαν μετακίνησιν.

Γ'.

Ἐὰν σφαῖρα ὑπὸ μείζονος ἑαυτῆς σφαίρας φωτίζηται, μεῖζον ἡμισφαιρίου φωτισθήσεται.

Σφαῖρα γὰρ, ἧς κέντρον τὸ β, ὑπὸ μείζονος ἑαυτῆς σφαίρας φωτιζέσθω, ἧς κέντρον τὸ α· λέγω ὅτι τὸ φωτιζόμενον μέρος τῆς σφαίρας ἧς κέντρον τὸ β, μεῖζον ἐστὶν ἡμισφαιρίου. Ἐπεὶ γὰρ δύο ἀνίσους σφαίρας ὁ αὐτὸς κῶνος περιλαμβάνει, τὴν κορυφὴν ἔχων πρὸς τῇ ἐλάσσονι σφαίρᾳ· ἔστω ὁ περιλαμβάνων τὰς σφαίρας κῶνος, καὶ ἐκβεβλήσθω διὰ τοῦ ἄξονος ἐπίπεδον· ποιήσει δὴ τομὰς ἐν μὲν ταῖς σφαίραις κύκλους, ἐν δὲ τῷ κώνῳ τρίγωνον. Ποιείτω οὖν ἐν μὲν ταῖς σφαίραις κύκλους τοὺς γδε, ζηθ, ἐν δὲ τῷ κώνῳ τρίγωνον τὸ γεκ· φανερὸν δὴ ὅτι τὸ κατὰ τὴν ζηθ περιφέρειαν τμῆμα τῆς σφαίρας, οὗ βάσις ἐστὶν ὁ περὶ διάμετρον τὴν ζθ κύκλος, φωτιζόμενον μέρος ἐστὶν ὑπὸ τοῦ τμήματος τοῦ κατὰ τὴν γδε περιφέρειαν, οὗ βάσις ἐστὶν ὁ περὶ διάμετρον τὴν γε κύκλος, ὀρθὸς ὢν πρὸς τὴν αβ εὐθεῖαν· καὶ γὰρ ἡ ζηθ περιφέρεια φωτίζεται ὑπὸ τῆς γδε περιφερείας· ἔσχαται γὰρ ἀκτῖνες εἰσὶν αἱ γζ, εθ· καὶ ἔστιν ἐν τῷ ζηθ τμήματι τὸ κέντρον τῆς σφαίρας τὸ β· ὥστε τὸ φωτιζόμενον μέρος τῆς σφαίρας μεῖζον ἐστὶν ἡμισφαιρίου.

Δʹ.

Ἐν τῇ σελήνῃ ἐλάχιστος κύκλος διορίζει τό τε σκιερὸν καὶ τὸ λαμπρὸν, ὅταν ὁ περιλαμβάνων κῶνος τόν τε ἥλιον καὶ τὴν σελήνην, τὴν κορυφὴν ἔχῃ πρὸς τῇ ἡμετέρᾳ ὄψει.

Ἔστω γὰρ ἡ μὲν ἡμετέρα ὄψις πρὸς τῷ α, ἡλίου δὲ κέντρον τὸ β· σελήνης δὲ κέντρον, ὅταν μὲν ὁ περιλαμβάνων κῶνος τόν τε ἥλιον καὶ τὴν σελήνην τὴν κορυφὴν ἔχῃ πρὸς τῇ ἡμετέρᾳ ὄψει, τὸ γ· ὅταν δὲ μὴ, τὸ δ· φαbasis circulus circà diametrum FH, partem esse illuminatam à portione quæ est ad circumferentiam CDE, cujus basis est circulus circà diametrum CE, rectus existens ad ipsam AB; etenim FGH circumferentia à circumferentiâ CDE illuminatur; quòd extremi radii sunt CF, EH: atque est in portione FGH centrum sphæræ B; quarè pars sphæræ illuminata, dimidiâ sphærâ major erit.

Ppopositio IV.

In lunâ minimus circulus determinat umbrosum et splendidum, quandò conus comprehendens solem et lunam ad visum nostrum verticem habet.

Sit noster quidem visus ad A (*fig.* 3); solis centrum B; centrum verò lunæ, quandò conus solem et lunam comprehendens ad visum nostrum verticem habeat, sit C: quandò autem non habeat, sit D. Manifestum est puncta A, C, B in eâdem rectâ lineâ esse. Producatur per AB et punctum D, planum, quod faciet sectiones in sphæris quidem circulos; in conis autem rectas lineas. Faciat etiàm in sphærâ, per quam fertur centrum lunæ, circulum CD. Certè A est ipsiûs centrum; hoc enim ponitur. In sole autem faciat circulum EFR; et in lunâ quandò conus solem et lunam comprehendens ad visum nostrum verticem habeat, circulum HKL; quandò autem non habeat, MNX: in conis verò rectas lineas EA, AG, PO, OR; et axes AB, BO. Sic igitur est, ut quæ ex centro circuli EFG, ad eam quæ ex centro circuli HKL, ita quæ ex centro circuli EFG ad eam quæ ex centro circuli MNX. Sed ut quæ ex centro circuli EFG ad eam quæ ex centro circuli HKL, ita BA ad AC. Ut autem quæ ex centro circuli EFG ad eam quæ ex centro circuli MNX, ità νερὸν δὴ ὅτι τὰ α,γ,β ἐπ' εὐθείας ἐστίν. Ἐκβεβλήσθω διὰ τῆς αβ καὶ τοῦ δ σημείου ἐπίπεδον· ποιήσει δὴ τομὰς, ἐν μὲν ταῖς σφαίραις κύκλους, ἐν δὲ τοῖς κώνοις εὐθείας. Ποιείτω δὲ καὶ ἐν τῇ σφαίρᾳ, καθ' ἧς φέρεται τὸ κέντρον τῆς σελήνης, κύκλον τὸν γδ· τὸ α ἄρα κέντρον ἐστὶν αὐτοῦ· τοῦτο γὰρ ὑπόκειται. Ἐν δὲ τῷ ἡλίῳ, τὸν εζρ κύκλον. Ἐν δὲ τῇ σελήνῃ, ὅταν μὲν ὁ περιλαμβάνων κῶνος τόν τε ἥλιον καὶ τὴν σελήνην, τὴν κορυφὴν ἔχῃ πρὸς τῇ ἡμετέρᾳ ὄψει, κύκλον τὸν θκλ· ὅταν δὲ μὴ, τὸν μνξ· ἐν δὲ τοῖς κώνοις, εὐθείας τὰς εα, αη, πο, ορ· ἄξονας δὲ αβ, βο. Καὶ ἐπεί ἐστιν ὡς ἡ ἐκ τοῦ κέντρου τοῦ εζη κύκλου, πρὸς τὴν ἐκ τοῦ κέντρου τοῦ θκλ, οὕτως ἡ τοῦ κέντρου τοῦ εζη κύκλου, πρὸς τὴν ἐκ τοῦ κέντρου τοῦ μνξ. Ἀλλ' ὡς ἡ ἐκ τοῦ κέντρου τοῦ εζη κύκλου πρὸς τὴν ἐκ τοῦ κέντρου τοῦ θκλ κύκλου, οὕτως ἡ βα πρὸς τὴν αγ. Ὡς δὲ ἡ ἐκ τοῦ κέντρου τοῦ εζη κύκλου, πρὸς τὴν ἐκ τοῦ κέντρου τοῦ μνξ κύκλου, οὕτως ἐστὶν ἡ βο πρὸς τὴν οδ· καὶ ὡς ἄρα ἡ βα πρὸς τὴν αγ, οὕτως ἡ βο πρὸς τὴν οδ· καὶ διελόντι, ὡς ἡ βγ πρὸς τὴν γα, οὕτως ἡ βδ πρὸς τὴν δο· καὶ ἐναλλὰξ, ὡς ἡ βγ πρὸς τὴν βδ, οὕτως ἡ γα πρὸς τὴν δο. Καὶ ἐστὶν ἐλάσσων ἡ βγ τῆς βδ· κέντρον γάρ ἐστι τὸ α τοῦ γδ κύκλου· ἐλάσσων ἄρα καὶ ἡ αγ τῆς δο· καὶ ἐστὶν ἴσος ὁ θκλ κύκλος τῷ μνξ κύκλῳ· ἐλάσσων ἄρα ἐστὶν καὶ ἡ θλ τῆς μξ, διὰ τὸ λῆμμα. Ὥστε καὶ ὁ περὶ διάμετρον τὴν θλ κύκλος γραφόμενος, ὀρθὸς ὢν πρὸς τὴν αβ, ἐλάσσων ἐστὶ τοῦ περὶ διάμετρον τὴν μξ κύκλου γραφομένου, ὀρθοῦ πρὸς τὴν βο. Ἀλλ᾽ ὁ μὲν περὶ διάμετρον τὴν θλ κύκλος γραφόμενος, ὀρθὸς ὢν πρὸς τὴν αβ, ὁ διορίζων ἐστὶν ἐν τῇ σελήνῃ τό τε σκιερὸν καὶ τὸ λαμπρὸν, ὅταν ὁ περιλαμβάνων κῶνος τόν τε ἥλιον καὶ τὴν σελήνην καὶ τὴν κορυφὴν ἔχῃ πρὸς τῇ ἡμετέρᾳ ὄψει. Ὁ δὲ περὶ διάμετρον τὴν μξ κύκλος, ὀρθὸς ὢν πρὸς τὴν βο, ὁ διορίζων ἐστὶν ἐν τῇ σελήνῃ τό τε σκιερὸν καὶ τὸ λαμπρὸν, ὅταν ὁ

BO ad OD; et ut igitur BA ad AC, ità BO ad OD; et dividendo, ut BC ad CA, ità BD ad DO: permutandoque, ut BC ad BD, ità CA ad DO. Atque est BC minor quàm BD (est enim A ipsiûs CD circuli centrum); ergò et CA minor est quàm DO; estque circulus HKL æqualis circulo MNX. Minor igitur est HL quàm MX, propter lemma. Quare et circulus qui circà diametrum HL describitur, rectus existens ad ipsam AB, minor est circulo descripto circà diametrum MX, qui rectus est ad BO. Sed circulus circà diametrum HL, rectus existens ad AB, est qui determinat in lunâ umbrosum et splendidum; quandò conus solem et lunam comprehendens ad visum nostrum verticem habeat. Circulus verò circà diametrum MX, rectus existens ad BO, in lunâ umbrosum et splendidum determinat, quandò conus solem et lunam comprehendens verticem non habeat ad nostrum visum. Minor igitur circulus determinat in lunâ umbrosum et splendidum, quandò conus solem et lunam comprehendens ad visum nostrum verticem habeat.

Propositio V.

Circulus determinans in lunâ umbrosum et splendidum non differt à maximo in lunâ circulo, quatenùs ad sensum attinet.

Sit (*fig.* 4) noster quidem visus ad A, lunæ verò centrum B; et jungatur AB; et producatur per ipsam AB planum quod faciet sectionem in sphærâ maximum circulum. Faciat circulum ECDF; et in cono rectas lineas AC, AD, DC. Circulus igitur circà diametrum CD rectus existens ad ipsam AB, est qui determinat in lunâ umbrosum et splendidum. Dico eum non differre à maximo circulo, quatenùs ad sensum attinet. Ducatur enim per B ipsî CD parallela EF; et ponatur circumferentiæ DF περιλαμβάνων κῶνος τόν τε ἥλιον καὶ τὴν σελήνην μὴ ἔχῃ τὴν κορυφὴν πρὸς τῇ ἡμετέρᾳ ὄψει. Ὥστε ἐλάσσων κύκλος διορίζει ἐν τῇ σελήνῃ τό τε σκιερὸν καὶ τὸ λαμπρόν, ὅταν ὁ περιλαμβάνων κῶνος τόν τε ἥλιον καὶ τὴν σελήνην τὴν κορυφὴν ἔχῃ πρὸς τῇ ἡμετέρᾳ ὄψει.

Ε'.

Ὁ διορίζων κύκλος ἐν τῇ σελήνῃ τό τε σκιερὸν καὶ τὸ λαμπρόν, ἀδιάφορός ἐστι τῷ ἐν τῇ σελήνῃ μεγίστῳ κύκλῳ πρὸς αἴσθησιν.

Ἔστω γὰρ ἡ μὲν ἡμετέρα ὄψις πρὸς τῷ $\overline{α}$, σελήνης δὲ κέντρον τὸ $\overline{β}$· καὶ ἐπεζεύχθω ἡ $\overline{αβ}$· καὶ ἐκβεβλήσθω διὰ τῆς $\overline{αβ}$ ἐπίπεδον. Ποιήσει δὴ τομὴν ἐν τῇ σφαίρᾳ μέγιστον κύκλον. Ποιείτω τὸν $\overline{εγδζ}$· ἐν δὲ τῷ κώνῳ εὐθείας τὰς $\overline{αγ}$, $\overline{αδ}$, $\overline{δγ}$. Ὁ ἄρα περὶ διάμετρον τὴν $\overline{γδ}$, πρὸς ὀρθὰς ὢν τῇ $\overline{αβ}$, ὁ διορίζων ἐστὶν ἐν τῇ σελήνῃ τό τε σκιερὸν καὶ τὸ λαμπρόν. Λέγω δή, ὅτι ἀδιάφορός ἐστι τῷ μεγίστῳ πρὸς τὴν αἴσθησιν. Ἤχθω γὰρ διὰ τοῦ $\overline{β}$ τῇ $\overline{γδ}$ παράλληλος ἡ $\overline{εζ}$· καὶ κείσθω τῆς δζ ἡμίσεια ἑκατέρα τῶν ηκ, ηθ· καὶ ἐπεζεύχθωσαν αἱ κβ, βθ, κα, αθ, βδ. Καὶ ἐπεὶ ὑπόκειται ἡ σελήνη ὑπὸ ιε΄ μέρος ζωδίου ὑποτείνουσα, ἡ ἄρα ὑπὸ γαδ γωνία βέβηκεν ἐπὶ ιε΄ μέρος ζωδίου. Τὸ δὲ ιε΄ τοῦ ζωδίου τοῦ τῶν ζωδίων ὅλου κύκλου ἐστὶ ρπ΄. Ὥστε ἡ ὑπὸ τῶν γαδ γωνία βέβηκεν ἐπὶ ρπ΄ ὅλου τοῦ κύκλου. Τεσσάρων ἄρα ὀρθῶν ἐστὶν ἡ γαδ ρπ΄. Διὰ δὴ τοῦτο ἡ ὑπὸ γαδ γωνία ἐστὶ με΄ ὀρθῆς, καὶ ἔστιν αὐτῆς ἡμίσεια ἡ ὑπὸ βαδ γωνία. Ἡ ἄρα ὑπὸ τῶν βαδ μιᾶς ὀρθῆς ἐστὶ μέρος. Καὶ ἐπεὶ ὀρθὴ ἐστὶν ἡ ὑπὸ τῶν αδβ, ἡ ἄρα ὑπὸ τῶν βαδ γωνία πρὸς ἥμισυ ὀρθῆς μείζονα λόγον ἔχει ἤπερ ἡ βδ πρὸς τὴν δα. Ὥστε ἡ βδ τῆς δα ἐλάσσων ἐστὶν ἢ με΄ μέρος. Ὥστε καὶ ἡ βη τῆς βα πολλῷ ἐλάσσων ἐστὶν ἢ με΄ μέρος· διελόντι ἡ βη τῆς ηα, ἐλάσσων ἐστὶν ἢ μδ΄ μέρος· ὥστε καὶ ἡ βθ τῆς αθ πολλῷ ἐλάσσων ἐστὶν ἢ μδ΄ μέρος. Καὶ dimidia utraque ipsarum GK, GH; et jungantur KB, BH, KA, AH, BD. Itaque quoniàm positum est lunam subtendere quintam decimam partem signi, angulus CAD consistet in quintâ decimâ signi parte. Quinta decima autem signi pars, totiûs zodiaci est pars centesima et octogesima. Quare CAD angulus consistet in centesimâ et octogesimâ parte totiûs zodiaci. Quatuor igitur rectorum erit CAD pars 180ma.; hoc est quadragesima quinta pars uniûs recti; et est ejus dimidius BAD angulus. Igitur angulus BAD est uniûs recti pars. Et quoniàm rectus est angulus ADB, habebit BAD angulus ad dimidium recti majorem proportionem, quàm BD ad DA. Quare BD minor est quàm ipsiûs DA pars quadragesima quinta; ac propterea BG ipsiûs BA multò minor erit quàm 45ma. pars. Dividendo, BG ipsiûs GA minor erit quàm pars 44ma. Ergò et BH multò minor est, quàm ipsiûs HA 44ma.

pars. Atque habet BH ad HA majorem proportionem, quàm angulus BAH ad angulum ABH. Angulus igitur BAH anguli ABH minor est, quàm 44^{ma}. pars. Estque ipsiûs quidem BAH duplus angulus KAH. ipsiûs verò BAH duplus angulus KBH. Ergò angulus KAH minor est quàm ipsiûs KBH quadragesima quarta pars. Sed angulus KBH æqualis est angulo DBF, hoc est angulo CDB, hoc est angulo BAD: angulus igitur KAH anguli BAD minor est, quàm 44^{ma}. pars. At angulus BAD recti est pars. Ergò angulus KAH recti est minor quàm $\frac{1}{3960}$. Magnitudo autem sub tantulo angulo spectata, insensibilis est nostro visui. Atque est KH circumferentia æqualis circumferentiæ DF. Ergò adhuc magis DF circumferentia insensibilis est nostro visui. Si enim jungatur AF, angulus FAD minor erit angulo KAH. Quare punctum D videbitur idem esse quod F; simili ratione C idem videbitur

τῶν

ἔχει ἡ βθ πρὸς τὴν θα μείζονα λόγον, ἤπερ ἡ ὑπὸ τῶν βαθ πρὸς τὴν ὑπὸ τῶν αβθ. Ἡ ἄρα ὑπὸ τῶν βαθ τῆς ὑπὸ τῶν αβθ ἐλάσσων ἐστὶν ἢ μδʹ μέρος. Καί ἐστι τῆς μὲν ὑπὸ τῶν βαθ διπλῆ ἡ ὑπὸ τῶν καθ· τῆς δὲ ὑπὸ τῶν αβθ διπλῆ ἡ ὑπὸ τῶν κβθ· ἐλάσσων ἄρα ἐστὶν καὶ ἡ ὑπὸ τῶν καθ τῆς ὑπὸ τῶν κβθ ἢ τεσσαρακοστοτέταρτον μέρος. Ἀλλὰ ἡ ὑπὸ τῶν κβθ ἴση ἐστὶ τῇ ὑπὸ τῶν δβζ, τουτέστι τῇ ὑπὸ τῶν γδβ, τουτέστι τῇ ὑπὸ τῶν βαδ. Ἡ ἄρα ὑπὸ τῶν καθ τῆς ὑπὸ τῶν βαδ ἐλάσσων ἐστὶν ἢ μδʹ μέρος. Ἡ δὲ ὑπὸ τῶν βαδ ὀρθῆς ἐστι μέρος. Ὥστε ἡ ὑπὸ τῶν καθ, ὀρθῆς ἐστὶν ἐλάσσων ἢ γ,ϡξʹ. Τὸ δὲ ὑπὸ τηλικαύτης γωνίας ὁρώμενον μέγεθος, ἀνεπαίσθητόν ἐστι τῇ ἡμετέρᾳ ὄψει. Καὶ ἐστὶν ἴση ἡ κθ περιφέρεια τῇ δζ περιφερείᾳ. Ἔτι ἄρα μᾶλλον ἡ δζ περιφέρεια ἀνεπαίσθητός ἐστι τῇ ἡμετέρᾳ ὄψει. Ἐὰν γὰρ ἐπιζευχθῇ ἡ αζ, ἡ ὑπὸ τῶν ζαδ γωνία, ἐλάσσων ἐστὶ τῆς ὑπὸ τῶν καθ. Τὸ δ ἄρα τῷ ζ τὸ αὐτὸ δόξει εἶναι· διὰ τὰ αὐτὰ δή, καὶ τὸ $\overline{γ}$ τῷ $\overline{ε}$ δόξει τὸ αὐτὸ εἶναι· ὥστε καὶ ἡ $\overline{γδ}$ τῇ $\overline{εζ}$ ἀνεπαίσθητός ἐστι· καὶ ὁ διορίζων ἄρα ἐν τῇ σελήνῃ τό τε σκιερὸν καὶ τὸ λαμπρὸν ἀνεπαίσθητός ἐστι τῷ μεγίστῳ.

ϛʹ.

Ὅταν ἡ σελήνη διχότομος ἡμῖν φαίνηται, τότε ὁ μέγιστος κύκλος, ὁ παρὰ τὸν διορίζοντα ἐν τῇ σελήνῃ τό τε σκιερὸν καὶ τὸ λαμπρὸν αὐτοῦ, νεύει εἰς τὴν ἡμετέραν ὄψιν. Τουτέστιν, ὁ παρὰ τὸν διορίζοντα μέγιστος κύκλος, καὶ ἡ ἡμετέρα ὄψις ἐν ἑνὶ εἰσὶν ἐπιπέδῳ.

Ἐπεὶ γάρ, διχοτόμου οὔσης τῆς σελήνης, φαίνεται ὁ διορίζων τό τε λαμπρὸν καὶ τὸ σκιερὸν τῆς σελήνης κύκλος νεύων εἰς τὴν ἡμετέραν ὄψιν, καὶ αὐτῷ ἀδιάφορος ὁ παρὰ τὸν διορίζοντα μέγιστος κύκλος. Ὅταν ἄρα ἡ σελήνη διχότομος ἡμῖν φαίνηται, τότε ὁ μέγιστος κύκλος ὁ παρὰ τὸν διορίζοντα νεύει εἰς τὴν ἡμετέραν ὄψιν.

esse quod E; ac propterea CD, ità ut sub sensum cadat, non differt ab ipsâ EF. Circulus igitur determinans in lunâ umbrosum et splendidum ità ut sub sensum cadat non differt à maximo circulo.

Propositio VI.

Cum luna dimidiata nobis apparet, tunc maximus circulus, qui est juxtà determinantem in lunâ umbrosum et splendidum ipsiûs, vergit in nostrum visum: hoc est maximus circulus qui est juxtà determinantem, et noster visus, in uno sunt plano.

Lunâ enim dimidiatâ existente, apparet circulus determinans umbrosum et splendidum ipsiûs, vergere in nostrum visum, et ab eo non differt circulus maximus qui est juxtà determinantem. Cùm igitur luna dimidiata nobis apparet, tunc circulus maximus, qui est juxtà determinantem, in visum nostrum vergit.

Propositio VII.

Luna infrà solem fertur, et dimidiata existens, minùs quadrante distat à sole.

Sit enim (*fig.* 5) noster visus ad A, solis autem centrum B; et juncta AB producatur, producaturque per ipsam et per centrum lunæ dimidiatæ planum. Faciet quidem sectionem in sphærâ per quam fertur centrum solis, circulum maximum. Faciat circulum CBD; et à puncto A ipsî AB ad rectos angulos ducatur CAD. Quadrantis certè est circumferentia BD. Dico lunam infrà solem ferri, et, cùm dimidiata existat, minùs quadrante à sole distare: hoc est, centrum ipsiûs contineri intrà rectas lineas BA, AD, et circumferentiam DEB.

Si enim non: sit centrum ipsiûs F intrà rectas lineas DA, AL, et jungatur BF. BF igitur axis erit coni comprehenden-

Ζʹ.

Ἡ σελήνη κατώτερον φέρεται τοῦ ἡλίου, καὶ διχότομος οὖσα ἔλασσον τεταρτημορίου ἀπέχει ἀπὸ τοῦ ἡλίου.

Ἔστω γὰρ ἡ ἡμετέρα ὄψις πρὸς τῷ α, ἡλίου δὲ κέντρον τὸ β· καὶ ἐπεζευχθεῖσα ἡ αβ ἐκβεβλήσθω, καὶ ἐκβεβλήσθω διὰ τῆς αβ καὶ τοῦ κέντρου τῆς σελήνης διχοτόμου οὔσης ἐπίπεδον. Ποιήσει δὴ τομὴν ἐν τῇ σφαίρᾳ, καθ' ἧς φέρεται τὸ κέντρον τοῦ ἡλίου, κύκλον μέγιστον. Ποιείτω οὖν τὸ γβδ κύκλον· καὶ ἀπὸ τοῦ α τῇ αβ πρὸς ὀρθὰς ἤχθω ἡ γαδ. Τεταρτημορίου ἄρα ἐστὶν ἡ βδ περιφέρεια. Λέγω, ὅτι ἡ σελήνη κατώτερον φέρεται τοῦ ἡλίου, καὶ διχότομος οὖσα ἔλαττον τεταρτημορίου ἀπέχει ἀπὸ τοῦ ἡλίου· τουτέστιν, ὅτι τὸ κέντρον ἐστὶν αὐτῆς μεταξὺ τῶν βα, αδ εὐθειῶν, καὶ τῆς δεβ περιφερείας.

Εἰ γὰρ μή· ἔστω τὸ κέντρον αὐτῆς τὸ ζ μεταξὺ τῶν δα, αλ εὐθειῶν, καὶ ἐπεζεύχθω ἡ βζ. Ἡ βζ ἄρα ἄξων ἐστὶ τοῦ περιλαμβάνοντος κώνου τόν τε ἥλιον καὶ τὴν σελήνην· καὶ γίνεται ἡ $\overline{\beta\zeta}$ ὀρθὴ πρὸς τὸν διορίζοντα ἐν τῇ σελήνῃ τό τε σκιερὸν καὶ τὸ λαμπρὸν, μέγιστον κύκλον. Ἔστω οὖν ὁ μέγιστος κύκλος ἐν τῇ σελήνῃ ὁ παρὰ τὸν διορίζοντα τό τε σκιερὸν καὶ τὸ λαμπρὸν, ὁ $\overline{\eta\theta\kappa}$. Καὶ ἐπεὶ, διχοτόμου οὔσης τῆς σελήνης, ὁ μέγιστος κύκλος, ὁ παρὰ τὸν διορίζοντα ἐν τῇ σελήνῃ τό τε σκιερὸν καὶ τὸ λαμπρὸν, καὶ ἡ ἡμετέρα ὄψις, ἐν ἑνὶ εἰσὶν ἐπιπέδῳ, ἐπεζεύχθω ἡ $\overline{\alpha\zeta}$. Ἡ $\overline{\alpha\zeta}$ ἄρα ἐν τῷ τοῦ $\overline{\kappa\eta\theta}$ κύκλου ἐστὶν ἐπιπέδῳ· καὶ ἐστὶν ἡ $\overline{\beta\zeta}$ τῷ $\overline{\kappa\eta\theta}$ κύκλῳ πρὸς ὀρθὰς, ὥστε καὶ τῇ $\overline{\alpha\zeta}$. Ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ τῶν $\overline{\beta\zeta\alpha}$ γωνία· ἀλλὰ καὶ ἀμβλεῖα ἡ ὑπὸ τῶν $\overline{\beta\alpha\zeta}$· ὅπερ ἀδύνατον. Οὐκ ἄρα τὸ ζ σημεῖον ἐν τῷ ὑπὸ τὴν $\overline{\delta\alpha\lambda}$ γωνίαν τόπῳ ἐστίν.

Λέγω ὅτι οὐδὲ ἐπὶ τῆς $\overline{\alpha\delta}$. Εἰ γὰρ δυνατὸν, ἔστω τὸ $\overline{\mu}$· καὶ πάλιν ἐπεζεύχθω ἡ $\overline{\beta\mu}$· καὶ ἔστω μέγιστος κύκλος, ὁ παρὰ τὸν διορίζοντα, οὗ κέντρον τὸ $\overline{\mu}$. Κατὰ τὰ αὐτὰ δὴ tis solem et lunam ; atque erit perpendicularis ad determinantem in lunâ umbrosum et splendidum, maximum circulum. Sit igitur maximus circulus in lunâ juxtà determinantem umbrosum et splendidum, GHK. Et quoniàm, lunâ dimidiatâ existente, maximus circulus juxtà determinantem in lunâ umbrosum et splendidum, et noster visus, sunt in uno plano, jungatur AF. Certè AF est in plano circuli KGH; et BF est circulo KGH ad rectos angulos, ut et ipsî AF. Ergò rectus est BFA angulus. Sed et obtusus est angulus BAF; at hoc quidem non potest. Non igitur punctum F est in loco intrà angulum DAL contento.

Dico neque esse in ipsâ AD. Si enim fieri potest, sit M; et rursùs jungatur BM; sitque maximus circulus juxtà determinantem, cujus centrum M. Eâdem ratione ostendetur angulus BMA rectus esse ad maximum circulum. Sed et BAM est rectus; quod fieri nequit. Non igitur in ipsâ AD est centrum lunæ dimidiatæ existentis. Ergò intrà lineas BA, AD erit.

Dico præthereà esse intrà circumferentiam BED. Nam si fieri potest, sit extrà in puncto N; et eadem construantur. Ostendemus angulum BNA rectum esse. Major igitur est BA quàm AN. Sed BA est æqualis AE. Ergò et AE major erit quàm AN; quod fieri non potest. Non igitur centrum lunæ dimidiatæ existentis est extrà BED circumferentiam. Similiter ostendetur neque esse in ipsâ BED circumferentiâ. Ergò intrà ipsam erit. Luna igitur fertur infrà solem, et dimidiata existens minùs quadrante à sole distat.

Propositio VIII.

Distantia quâ sol distat à terrâ, distantiæ quâ distat luna à terrâ, major quidem

δειχθήσεται

δειχθήσεται ἡ ὑπὸ $\overline{\beta\mu\alpha}$ γωνία ὀρθὴ πρὸς τὸν μέγιστον κύκλον. Ἀλλά, καὶ ἡ ὑπὸ τῶν $\overline{\beta\alpha\mu}$· ὅπερ ἀδύνατον. Οὐκ ἄρα ἐπὶ τῆς $\overline{\alpha\delta}$ τὸ κέντρον ἐστὶ τῆς σελήνης διχοτόμου οὔσης. Μεταξὺ ἄρα τῶν $\overline{\alpha\beta}$, $\overline{\alpha\delta}$ ἐστί.

Λέγω δὴ ὅτι καὶ ἐντὸς τῆς $\overline{\beta\varepsilon\delta}$ περιφερείας. Εἰ γὰρ δυνατόν, ἔστω ἐκτὸς κατὰ τὸ $\overline{\nu}$· καὶ τὰ αὐτὰ κατασκευάσθω. Δειχθήσεται δὴ ἡ ὑπὸ τῶν $\overline{\beta\nu\alpha}$ γωνία ὀρθή. Μείζων ἄρα ἐστὶν ἡ $\overline{\beta\alpha}$ τῆς $\overline{\alpha\nu}$. Ἴση δὲ ἡ $\overline{\beta\alpha}$ τῇ $\overline{\alpha\varepsilon}$. Μείζων ἄρα ἐστὶν καὶ ἡ $\overline{\alpha\varepsilon}$ τῆς $\overline{\alpha\nu}$· ὅπερ ἀδύνατον. Οὐκ ἄρα τὸ κέντρον τῆς σελήνης διχοτόμου οὔσης ἐκτὸς ἔσται τῆς $\overline{\beta\varepsilon\delta}$ περιφερείας. Ὁμοίως δειχθήσεται ὅτι οὐδὲ ἐπ' αὐτῆς τῆς $\overline{\beta\varepsilon\delta}$ περιφερείας. Ἐντὸς ἄρα. Ἡ ἄρα σελήνη κατώτερον φέρεται τοῦ ἡλίου καὶ διχότομος οὖσα ἔλασσον τεταρτημορίου ἀπέχει ἀπὸ τοῦ ἡλίου.

Η'.

Τὸ ἀπόστημα ὃ ἀπέχει ὁ ἥλιος ἀπὸ τῆς γῆς, τοῦ ἀποστήματος οὗ ἀπέχει ἡ σελήνη ἀπὸ τῆς γῆς, μεῖζον μὲν ἐστὶν ἢ ὀκτωκαιδεκαπλάσιον· ἔλασσον δὲ ἢ εἰκοσαπλάσιον.

Ἔστω γὰρ ἡλίου μὲν κέντρον τὸ α· γῆς δὲ τὸ β. Καὶ ἐπιζευχθεῖσα ἡ αβ ἐκβεβλήσθω. Σελήνης δὲ κέντρον διχοτόμου οὔσης τὸ γ· καὶ ἐκβεβλήσθω διὰ τῆς αβ, καὶ τοῦ γ, ἐπίπεδον· καὶ ποιείτω τομὴν ἐν τῇ σφαίρᾳ, καθ' ἧς φέρεται τὸ κέντρον τοῦ ἡλίου, μέγιστον κύκλον τὸν αδε· καὶ ἐπεζεύχθωσαν αἱ αγ, γβ· καὶ ἐκβεβλήσθω ἡ γβ ἐπὶ τὸ δ. Ἔσται δή, διὰ τό, τὸ γ σημεῖον κέντρον εἶναι τῆς σελήνης διχοτόμου οὔσης, ὀρθὴ ἡ ὑπὸ τῶν αγβ. Ἤχθω δὴ ἀπὸ τοῦ β τῇ βα πρὸς ὀρθὰς ἡ βε. Ἔσται δὴ ἡ εδ περιφέρεια τῆς εδα περιφερείας τριακοστόν. Ὑπόκειται γὰρ ὅταν ἡ σελήνη διχότομος ἡμῖν φαίνηται, ἀπέχειν ἀπὸ τοῦ ἡλίου ἔλασσον τεταρτημορίου τῷ τοῦ τεταρτημορίου τριακοστῷ. Ὥστε καὶ ἡ ὑπὸ τὴν εβγ γωνία ὀρθῆς ἐστὶ τριακοστόν. Συμπεπληρώσθω δὴ τὸ αε παραλληλόγραμμον· καὶ ἐπεζεύχθω ἡ βζ.

est quàm duodevigintupla; minor verò quàm vigintupla.

Sit (*fig.* 6) solis quidem centrum A; terræ verò, centrum B. Et juncta AB producatur. Lunæ autem dimidiatæ existentis centrum sit C; et per AB et C producatur planum, quod faciat sectionem in sphærâ, per quam fertur centrum solis, maximum circulum ADE; et jungantur AC, CB: producaturque CB in D. Erit utique, propterea quod punctum C centrum sit lunæ dimidiatæ, rectus angulus ACB. Ducatur verò à puncto B ipsî BA ad rectos angulos BE. Ergò circumferentia ED erit circumferentiæ EDA trigesima pars. Positum est enim, cum luna dimidiata nobis apparet, distare eam à sole minùs quadrante, quadrantis parte trigesimâ. Quare et EBC angulus est trigesima pars uniûs recti. Compleatur parallelogrammum AE; et jungatur BF. Erit angulus FBE recti dimidius. Secetur FBE bifariàm rectâ lineâ BG. Angulus igitur GBE quarta pars est uniûs recti. Sed angulus DBE est uniûs recti pars trigesima. Ergò proportio anguli GBE ad angulum DBE est ea quam habet 15 ad 2. Quarum enim partum angulus rectus est 60, earum angulus quidem GBE est 15; angulus verò DBE 2: et quoniàm GE ad EH majorem proportionem habet, quàm angulus GBE ad DBE angulum; habebit GE ad EH majorem proportionem quàm 15 ad 2. Est autem BE æqualis EF, atque rectus est angulus qui ad E; quadratum igitur ex FB duplum est quadrati ex BE. Ut autem quadratum ex FB ad quadratum ex BE, ità quadratum ex FG ad quadratum ex GE. Ergò quadratum ex FG quadrati ex GE duplum erit. Sed 49 minora sunt quàm dupla 25. Ergò quadratum ex FG ad quadratum ex GE majo-

Ἔσται δὴ ἡ ὑπὸ τῶν ζβε γωνία ἡμίσεια ὀρθῆς. Τετμήσθω ἡ ὑπὸ τῶν ζβε γωνία δίχα τῇ βη εὐθεία. Ἡ ἄρα ὑπὸ τῶν ηβε γωνία τέταρτον μέρος ἐστὶν ὀρθῆς. Ἀλλὰ καὶ ἡ ὑπὸ τῶν δβε γωνία τριακοστὸν ἐστὶ μέρος ὀρθῆς. Λόγος ἄρα τῆς ὑπὸ τῶν ηβε γωνίας πρὸς τὴν ὑπὸ τῶν δβε γωνίαν, ὃν ἔχει τὰ ιε' πρὸς τὰ δύο. Οἵων γὰρ ἐστὶν ὀρθὴ γωνία ξ', τοιούτων ἐστὶν ἡ μὲν ὑπὸ τῶν ηβε ιε', ἡ δὲ ὑπὸ τῶν δβε δύο. Καὶ ἐπεὶ ἡ ηε πρὸς τὴν εθ μείζονα λόγον ἔχει ἤπερ ἡ ὑπὸ τῶν ηβε γωνία πρὸς τὴν ὑπὸ τῶν δβε γωνίαν· ἡ ἄρα ηε πρὸς τὴν εθ μείζονα λόγον ἔχει ἤπερ τὰ ιε' πρὸς τὰ δύο. Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ βε τῇ εζ, καὶ ἔστιν ὀρθὴ ἡ πρὸς τὸ ε· τὸ ἄρα ἀπὸ τῆς ζβ τοῦ ἀπὸ τῆς βε διπλάσιον ἐστίν. Ὡς δὲ τὸ ἀπὸ ζβ πρὸς τὸ ἀπὸ βε, οὕτως ἐστὶ τὸ ἀπὸ ζη πρὸς τὸ ἀπὸ ηε· τὸ ἄρα ἀπὸ ζη τοῦ ἀπὸ ηε διπλάσιον ἐστί. Τὰ δὲ μθ' τῶν κε' ἐλάσσονα ἐστὶν ἢ διπλάσια. Ὥστε τὸ ἀπὸ ζη πρὸς τὸ ἀπὸ ηε μείζονα λογον ἔχει ἢ μθʹ πρὸς κεʹ· καὶ ἡ ζκ ἄρα πρὸς τὴν κε μείζονα λόγον ἔχει ἢ τὰ ζʹ πρὸς τὰ εʹ· καὶ συνθέντι, ἡ ζε ἄρα πρὸς τὴν εκ μείζονα λόγον ἔχει, ἢ ὃν τὰ ιβʹ πρὸς τὰ εʹ· τουτέστιν ἢ ὃν λϛʹ πρὸς τὰ ιεʹ. Ἐδείχθη δὲ καὶ ἡ κε πρὸς τὴν εθ μείζονα λόγον ἔχουσα, ἢ ὃν τὰ ιεʹ πρὸς τὰ δύο. Δι᾽ ἴσου ἄρα ἡ ζε πρὸς τὴν εθ μείζονα λόγον ἔχει, ἢ ὃν τὰ λϛʹ πρὸς τὰ δύο, τουτέστιν ἢ ὃν τὰ ιηʹ πρὸς αʹ. Ἡ ἄρα ζε τῆς εθ μείζων ἐστὶν ἢ ιηʹ. Ἡ δὲ ζε ἴση ἐστὶ τῇ βε. Καὶ ἡ βε ἄρα τῆς εθ μείζων ἐστὶν ἢ ιηʹ. Πολλῷ ἄρα ἡ βθ τῆς θε μείζων ἐστὶν ἢ ιηʹ. Ἀλλ᾽ ὡς ἡ βθ πρὸς τὴν θε, οὕτως ἐστὶν ἡ αβ πρὸς τὴν βγ, διὰ τὴν ὁμοιότητα τῶν τριγώνων. Καὶ ἡ αβ ἄρα τῆς βγ μείζων ἐστὶν ἢ ιηʹ· καὶ ἔστιν ἡ μὲν αβ ἀπόστημα ὃ ἀπέχει ὁ ἥλιος ἀπὸ τῆς γῆς· ἡ δὲ γβ τὸ ἀπόστημα ὃ ἀπέχει ἡ σελήνη ἀπὸ τῆς γῆς. Τὸ ἄρα ἀπόστημα ὃ ἀπέχει ὁ ἥλιος ἀπὸ τῆς γῆς, τοῦ ἀποστήματος οὗ ἀπέχει ἡ σελήνη ἀπὸ τῆς γῆς, μεῖζον ἐστὶν ἢ ιηʹ.

rem proportionem habet quàm 49 ad 25; ac propterea ipsa FG ad GE majorem proportionem habet, quam 7 ad 5: et componendo, EF ad EG majorem proportionem habet, quàm 12 ad 5; hoc est, quàm 36 ad 15. Ostensum autem est et GE ad EH majorem proportionem habere, quàm 15 ad 2. Ergò ex æquali FE ad EH majorem proportionem habebit, quàm 36 ad 2, hoc est quàm 18 ad 1. Et ob id FE major est quàm 18^{pla} ipsiûs EH. Est autem FE æqualis EB. Ergò et BE ipsiûs EH major est quàm 18^{pla}. Multò igitur major erit BH, quàm 18^{pla} ipsiûs HE. Sed ut BH ad HE, ità est AB ad BC ob similitudinem triangulorum. Ergò et AB ipsiûs BC major est quàm 18^{pla}; estque AB quidem distantia quâ distat sol à terrâ; CB verò distantia quâ distat luna à terrâ. Igitur distantia quâ distat sol à terrâ, distantiæ quâ distat luna à terrâ, major est quàm 18^{pla}.

Dico etiàm minorem esse quàm 20^{plam}. Ducatur enim per D ipsî EB parallela DK, et circà DKB triangulum circulus describatur DKB. Erit ipsiûs diameter DB, propterea quod rectus sit angulus ad K. Et aptetur BL hexagoni latus. Quoniàm igitur angulus DBE est 30^{ma} pars recti, erit et BDK recti pars 30^{ma}. Ergò circumferentia BK 60^{ma} pars est totiûs circuli: est autem et BL sexta pars totiûs circuli; igitur circumferentia BL circumferentiæ BK 10^{pla} erit. Atque habet circumferentia BL ad circumferentiam BK majorem proportionem, quàm recta linea BL ad BK rectam. Ergò BL recta BK rectæ minor est, quàm 10^{pla}. Est autem ipsiûs BL dupla BD. Quare BD ipsiûs BK minor erit quàm 20^{pla}. Sed ut BD ad BK, ità AB ad BC. Ergò et AB minor erit ipsiûs BC quàm 20^{pla}. Estque AB quidem distantia quâ distat sol à terrâ; BC verò distantia quâ distat luna à terrâ. Igitur dis-

Λέγω

Λέγω δὴ ὅτι καὶ ἔλασσον ἢ κ΄. Ἤχθω γὰρ διὰ τοῦ δ τῇ εβ παράλληλος ἡ δκ, καὶ περὶ τὸ δκβ τρίγωνον κύκλος γεγράφθω ὁ δκβ. Ἔσται δὴ αὐτοῦ διάμετρος ἡ δβ διὰ τὸ ὀρθὴν εἶναι τὴν πρὸς τὸ γ γωνίαν. Καὶ ἐνηρμόσθω ἡ βλ ἑξαγώνου. Καὶ ἐπεὶ ἡ ὑπὸ τῶν δβε γωνία λ΄ ἐστὶν ὀρθῆς, καὶ ἡ ὑπὸ τῶν βδκ ἄρα λ΄ ἐστὶν ὀρθῆς. Ἡ ἄρα βκ περιφέρεια ξ΄ ἐστὶ τοῦ ὅλου κύκλου. Ἔστι δὲ καὶ ἡ βλ ἕκτον μέρος τοῦ ὅλου κύκλου· ἡ ἄρα βλ περιφέρεια τῆς βκ περιφερείας ι΄ ἐστίν. Καὶ ἔχει ἡ βλ περιφέρεια πρὸς τὴν βκ περιφέρειαν μείζονα λόγον, ἤπερ ἡ βλ εὐθεῖα πρὸς τὴν βκ εὐθεῖαν. Ἡ ἄρα βλ εὐθεῖα τῆς βκ εὐθείας ἐλάσσων ἐστὶν ἢ ι΄. Καὶ ἐστὶν αὐτῆς διπλῆ ἡ βδ. Ἡ ἄρα βδ τῆς βκ ἐλάσσων ἐστὶν ἢ κ΄. Ὡς δὲ ἡ βδ πρὸς τὴν βκ, ἡ αβ πρὸς τὴν βγ. Ὥστε καὶ ἡ αβ τῆς βγ ἐλάσσων ἐστὶν ἢ κ΄. Καί ἐστιν ἡ μὲν αβ τὸ ἀπόστημα ὃ ἀπέχει ὁ ἥλιος ἀπὸ τῆς γῆς· ἡ δὲ βγ τὸ ἀπόστημα ὃ ἀπέχει ἡ σελήνη ἀπὸ τῆς γῆς. Τὸ ἄρα ἀπόστημα ὃ ἀπέχει ὁ ἥλιος ἀπὸ τῆς γῆς, τοῦ ἀποστήματος οὗ ἀπέχει ἡ σελήνη ἀπὸ τῆς γῆς, ἔλασσον ἐστὶν ἢ κ΄. Ἐδείχθη δὲ καὶ μείζων ἢ ιή.

Θ΄.

Ὅταν ὁ ἥλιος ἐκλείπῃ ὅλος, τότε ὁ αὐτὸς κῶνος περιλαμβάνει τόν τε ἥλιον καὶ τὴν σελήνην, τὴν κορυφὴν ἔχων πρὸς τὴν ἡμετέραν ὄψιν.

Ἐπεὶ γὰρ ἐὰν ἐκλείπῃ ὁ ἥλιος, δι᾽ ἐπιπρόσθεσιν τῆς σελήνης ἐκλείπει. Ἐμπίπτοι ἂν ὁ ἥλιος εἰς τὸν κῶνον τὸν περιλαμβάνοντα τὴν σελήνην τὴν κορυφὴν ἔχοντα πρὸς τὴν ἡμετέραν ὄψιν. Ἐμπίπτων δὲ ἤτοι ἐναρμόσει εἰς αὐτὸν, ἢ ὑπεραίροι, ἢ ἐκλείποι. Εἰ μὲν οὖν ὑπεραίροι, οὐκ ἐκλείπει ὅλος, ἀλλὰ παραλλάττοι αὐτοῦ τὸ ὑπεραῖρον. Εἰ δὲ ἐκλείποι, διαμένοι ἂν ἐκλελοιπὼς ἐν ὅσῳ διερξέρχεται τὸ ἐλλεῖπον. Ὅλος δὲ ἐκλείπει καὶ οὐ διαμένει ἐκλελοιπώς. Τοῦτο γὰρ ἐκ τῆς τηρήσεως φανερόν. Ὥστε οὔτ᾽ ἂν ὑπεραίροι, οὔτε ἐκλείποι. Ἐναρμόσει ἄρα εἰς tantia quâ distat sol à terrâ, distantiæ quâ distat luna à terrâ minor est quàm 20pla. Ostensa autem est major quàm 18pla.

PROPOSITIO IX.

Cùm sol deficit totus, tunc idem conus comprehendit solem et lunam, verticem habens ad visum nostrum.

Quoniàm enim si deficiat sol, ob oppositionem lunæ deficit. Incidit autem sol in conum comprehendentem lunam, qui verticem habet ad visum nostrum. Vel igitur sol ipsî cono congruit, vel excedit, vel ab eo exceditur; et si quidem excedit, non deficiet totus, sed eminebit ipsiûs pars excedens. Si verò ab eo exceditur, permanebit solîs defectus, quoad partem illam, quâ exceditur, pertransiverit. Atqui deficit totus et non permanet deficiens. Illud enim ex observatione manifestum est. Quare neque excedit, neque exceditur. Ipsî igitur congruat necesse est, et comprehendetur à cono lunam comprehendente, qui verticem habet ad nostrum visum.

Propositio X.

Solis diameter diametri lunæ major est quàm 18pla; minor verò quàm 20pla.

Sit (*fig.* 7) noster quidem visus ad A; solis autem centrum B, et lunæ centrum C, quandò conus comprehendens solem et lunam verticem habeat ad nostrum visum, hoc est quandò puncta A, C, B sint in eâdem rectâ lineâ. Et producatur per ACB planum quod faciat sectiones in sphæris quidem maximos circulos, in cono autem rectam lineam. Faciat igitur in sphæris maximos circulos FG, KLH; et in cono rectas lineas AFH, AGK; et jungantur CG, BK. Erit ut BA ad AC, ità BK ad CG; sed BA ipsiûs AC ostensa est major quidem quàm 18pla, minor verò quàm 20pla. Ergò et BK ipsiûs CG major τὸν κῶνον, καὶ περιληφθήσεται ὑπὸ τοῦ κώνου τοῦ περιλαμβάνοντος τὴν σελήνην τὴν κορυφὴν ἔχοντος πρὸς τὴν ἡμετέραν ὄψιν.

Ι'.

Ἡ τοῦ ἡλίου διάμετρος τῆς διαμέτρου τῆς σελήνης μείζων μὲν ἐστὶν ἢ ιη'· ἐλάσσων δὲ ἢ κ'.

Ἔστω γὰρ ἡ μὲν ἡμετέρα ὄψις πρὸς τὸ α· ἡλίου δὲ κέντρον τὸ β, σελήνης δὲ κέντρον τὸ γ, ὅταν ὁ περιλαμβάνων κῶνος τόν τε ἥλιον καὶ τὴν σελήνην τὴν κορυφὴν ἔχῃ πρὸς τὴν ἡμετέραν ὄψιν, τουτέστιν, ὅταν τὰ α, γ, β σημεῖα ἐπ' εὐθείας ᾖ. Καὶ ἐκβεβλήσθω διὰ τῆς αγβ ἐπίπεδον. Ποιήσει δὴ τομὰς ἐν μὲν ταῖς σφαίραις μεγίστους κύκλους, ἐν δὲ τῷ κώνῳ εὐθείαν. Ποιείτω οὖν μὲν ἐν ταῖς σφαίραις μεγίστους κύκλους τοὺς ζη, κλθ· ἐν δὲ τῷ κώνῳ εὐθείας τὰς αζθ, αηκ· καὶ ἐπεζεύχθωσαν αἱ γη, βκ. Ἔσται δὴ ὡς ἡ βα πρὸς τὴν αγ, ἡ βκ πρὸς τὴν γη· ἡ δὲ βα τῆς αγ ἐδείχθη μείζων μὲν ἢ ιη', ἐλάσσων δὲ ἢ κ'. καὶ ἡ βκ ἄρα τῆς γ̅η̅ μείζων μὲν ἐστὶν ἢ ιη΄, ἐλάσσων δὲ ἢ κ΄.

ΙΑ΄.

Ὁ ἥλιος πρὸς τὴν σελήνην μείζονα μὲν λόγον ἔχει ἢ ὃν τὰ ͵εωλβ΄ πρὸς α΄, ἐλάσσονα δὲ ἢ ὃν τὰ ͵η πρὸς α΄.

Ἔστω ἡ μὲν τοῦ ἡλίου διάμετρος ἡ α̅, ἡ δὲ τῆς σελήνης ἡ β̅. Ἡ α̅ ἄρα πρὸς τὴν β̅ μείζονα λόγον ἔχει ἢ ὃν τὰ ιη΄ πρὸς α΄, ἐλάσσονα δὲ ἢ ὃν τὰ κ΄ πρὸς α΄. Καὶ ἐπειδὴ ὁ ἀπὸ τῆς α̅ κύβος πρὸς τὸν ἀπὸ τῆς β̅ κύβον τριπλασίονα λόγον ἔχει ἤπερ ἡ α̅ πρὸς τὴν β̅· ἔχει δὲ καὶ ἡ περὶ διάμετρον τὴν α̅ σφαῖρα πρὸς τὴν περὶ διάμετρον τὴν β̅ σφαῖραν γ΄ λόγον ἤπερ ἡ α̅ πρὸς τὴν β̅· ἔστιν ἄρα ὡς ἡ περὶ διάμετρον τὴν α̅ σφαῖρα πρὸς τὴν περὶ διάμετρον τὴν β̅ σφαῖραν, οὕτως ὁ ἀπὸ τῆς α̅ κύβος πρὸς τὸν ἀπὸ τῆς β̅ κύβον. Ὁ δὲ ἀπὸ τῆς α̅ κύβος πρὸς τὸν ἀπὸ τῆς β̅ κύβον μείζονα λόγον ἔχει ἢ ὃν τὰ ͵εωλβ΄ πρὸς α΄, ἐλάσerit quàm 18pla, et minor quàm 20pla.

PROPOSITIO XI.

Sol ad lunam majorem proportionem habet quàm 5832 ad 1, minorem verò quàm 8000 ad 1.

Sit (*fig.* 8) solis quidem diameter A; lunæ verò diameter B. Ergò A ad B majorem proportionem habet, quàm 18 ad 1, et minorem quàm 20 ad 1. Et quoniàm cubus qui fit ex A ad cubum qui fit ex B, triplicatam proportionem habet ejus quam A habet ad B; habet autem et sphæra circà diametrum A ad sphæram circà diametrum B triplicatam proportionem ejus quam habet A ad B; est igitur sphæra circà diametrum A ad sphæram circà diametrum B, ut cubus ad A ad cubum ex B. Sed cubus ex A ad cubum ex B majorem proportionem habet, quam 5832 ad 1, minorem verò quàm 8000 ad

1, quoniàm A ad B majorem proportionem habet, quàm 18 ad 1; et minorem, quàm 20 ad 1. Ergò et sol ad lunam majorem proportionem habebit, quàm 5832 ad 1, minorem verò quàm 8000 ad 1.

Propositio XII.

Lunæ diameter, distantiæ quâ distat centrum lunæ à visû nostro, minor est quàm duæ 45^{mæ} partes, majòr verò quàm pars 30ma.

Sit enim (*fig.* 9) noster visus ad A, et lunæ centrum B, quandò conus comprehendens solem et lunam, verticem habeat ad nostrum visum. Dico fieri ea quæ in propositione continentur. Jungatur enim AB, et producatur per ipsam AB planum quod sectionem faciat in sphærâ circulum, in cono autem rectas lineas. Faciat igitur in sphærâ circulum CED, et in cono rec-

σονα

σονα δὲ ἢ ὃν τὰ η πρὸς α΄, ἐπειδὴ ἡ $\overline{α}$ πρὸς τὴν $\overline{β}$ μείζονα λόγον ἔχει ἢ ὃν τὰ ιη΄ πρὸς α΄, ἐλάσσονα δὲ ἢ ὃν τὰ κ΄ πρὸς ἕν. Ὥστε ὁ ἥλιος πρὸς τὴν σελήνην μείζονα λόγον ἔχει ἤπερ τὰ ͵ϛωλβ΄ πρὸς α΄, ἐλάσσονα δὲ ἢ ὃν τὰ η πρὸς α΄.

IB΄.

Ἡ τῆς σελήνης διάμετρος, τοῦ ἀποστήματος οὗ ἀπέχει τὸ κέντρον τῆς σελήνης ἀπὸ τῆς ἡμετέρας ὄψεως, ἐλάσσων μέν ἐστιν ἢ δύο με΄, μείζων δὲ ἢ λ΄.

